λιος. Ἐπεὶ δέτοι τὰ διεζευγμένα, ἤτοι ἀμέσως διέζευκται, ἢ ἔχει τι μεταξὺ, ἢ καὶ πλείω μὲν, ὡρισμένα δὲ, ἢ τέως καὶ πολλὰ ἀορίστως, ποικιλοτρόπως εἰκὸς καὶ τὸν κατ' αὐτὰ συλλογισμὸν μεθοδεύεσθαι.

§. ψξβ΄. Καὶ ἐφ' ὧν μὲν ἡ διάζευξις ἄμεσος, ἡ τῇ θέσει τοῦ ἑτέρου ἀποφατικῶς θάτερον εἰσβάλλειν ἐστίν. Οἷον,

| | |
|---|---|
| Ἤτοι κινεῖται . . . . | Ἢ ἠρεμεῖ. |
| Κινεῖται δέ. | Ἠρεμεῖ δέ. |
| Οὐκ ἄρα ἠρεμεῖ. | Οὐκ ἄρα κινεῖται. |

Ἢ γοῦν ἀνάπαλιν τῇ ἄρσει καταφατικῶς. Οἷον ἐπὶ τοῦ αὐτοῦ λήμματος.

| | |
|---|---|
| Οὐ κινεῖται δέ. | Οὐκ ἠρεμεῖ δέ. |
| Ἠρεμεῖ ἄρα. | Κινεῖται ἄρα. |

§. ψξγ΄. Ἐφ' ὧν δὲ τρίτον μεταξὺ, ἢ καὶ πλείω ὡρισμένως ἡ διάζευξις παρεισάγει, ἢ Α. τοῦ ἑνὸς τεθέντος, συλλήβδην τὰ λοιπὰ ἀναιρεῖται. Οἷον,

Ἤτοι αὐτόφωτον ἡ σελήνη, ἢ διαφανὲς, ἢ τοῦ φωτὸς ἐστὶν ἀντανακλαστικόν.

Ἐστι δὲ φωτὸς ἀντανακλαστικόν.

Οὐκ ἄρα οὐδὲ διαφανὲς, οὐδ' αὐτόφωτον.

Ἢ Β. τοῦ ἑτέρου ἀναιρεθέντος τὰ λοιπὰ τίθεται πάντα, ἀλλὰ διεζευγμένως· Οἷον,

Ἤτοι πτηνὸν ὁ Καρκῖνος, ἢ χερσαῖον, ἢ ἔνυδρον, ἢ ἀμφίβιον.

Οὐκ ἐστι δὲ πτηνόν.

Ἤτοι ἄρα χερσαῖον, ἢ ἔνυδρον, ἢ ἀμφίβιον.

Καὶ πάλιν ἐν λήμματι τῷ ἤδη συμπερανθέντι.

Ἀλλ' οὐ χερσαῖον. Ἤτοι ἄρα ἔνυδρον, ἢ ἀμφίβιον.

Καὶ τέως δυοῖν μόνοιν ὑπολειφθέντοιν, ὡς ἀνωτέρω (§. ψξβ΄.) ἐπὶ τῶν ἀμέσως.

Ἀλλ' οὐκ ἔνυδρον. Ἀμφίβιον ἄρα.

Ἢ Γ΄. παρ' ἓν τῶν λοιπῶν συμπλεκτικῶς ἀναιρεθέντων, αὐτὸ τὸ ἓν τίθεται (1). Οἷον ἐπὶ τοῦ κατὰ τὸ Β. πρώτου λήμματος.

Οὐκ

ἑξῆς) ἀντιδιαστέλλοντες. (Ὅ, τε Φιλόπονος, καὶ ὁ Ἀνώνυμος εἰς τὰ Πρότερ. Ἀναλυτ.).

(1) „Οὕτωτοι καὶ τὸν κύνα οἱ Δια„λεκτικοὶ φασὶ τῷ διὰ πλειόνων διε„ζευγμένῳ χρώμενον ἐν ταῖς πολυσχι„δέσιν



Οὐκ ἐστι δὲ πτηνὸν, οὐδὲ χερσαῖον, οὐδ' ἔνυδρον.

Ἐστιν ἄρα ἀμφίβιον (1).

§. ψξδ΄. Τῶν δὲ δὴ μέσων ἀορίστως πληθυνομένων, ἢ ἀριθμῷ δυσπεριλήπτων ὄντων, Α΄. τῇ μὲν τοῦ ἑνὸς θέσει, ἀναιρεῖται τὰ λοιπὰ πάντα (2). Οἷον,

Τὸ ἄνθος, ἤτοι ῥόδον ἐστὶν, ἢ ἴον, ἢ κρίνον, ἢ ὑάκινθος, ἢ νάρκισσος. κτ.

Ῥόδον δὲ ἐστίν.

Οὐκ ἄρα οὐδ' ἴον, οὐδὲ κρίνον, οὐδ' ὑάκινθος, οὐδὲ νάρκισσος. κλ.

Β. Τῇ δὲ τοῦ ἑνὸς ἀναιρέσει, τὰ λοιπὰ τίθεται, ἀλλὰ διαζευκτικῶς, καὶ ἀορίστως. Οἷον,

Οὐκ ἐστι ῥόδον.

Ἤτοι ἄρα ἴον, ἢ κρίνον, ἢ ὑάκινθος, ἢ νάρκισσος, ἤτι τῶν ἄλλων.

Γ. Ἢ τέως καὶ τῇ θέσει τινῶν ἀναιρεῖται τὰ λοιπά· τῇ δὲ τινῶν ἄρσει τίθεται τ' ἄλλα, πλὴν ἀορίστως, καθάπερ εἴρηται, καὶ διεζευγμένως.

§. ψξε΄. Διαστροφὴ δὲ τοῦ κατὰ διάζευξιν συλλογισμοῦ, ὅτι παραδραμεῖν, μὴ ἐπ' ἀκριβὲς τῆς διαζευκτικῆς καταλεγούσης τὰ μέρη. Οἷον Ὑπερίδης διὰ δύω προφάσεις, εἰπὼν, τῶν ἀδικημάτων τοὺς ἀνθρώπους ἀπέχεσθαι, ἢ διὰ φόβον, ἢ δι' αἰσχύνην, συλλογισμοῦ Διαζευκτικοῦ ἐπισφαλοῦς ὑπέθετο λῆμμα. Εἴτις γὰρ προσλαβὼν ἀποφήναιτο, τὸν Δεῖνα μὴ διὰ φόβον, οὐκ ἂν ἐντεῦθεν συναγαγεῖν ὀρθῶς παρείη, ὡς ἄρα δι' αἰσχύνην· οὐδ' οὖν ἀνάπαλιν. Τυχὸν γάρτις οὐδὲ φόβῳ βαλλόμενος, οὐδ' αἰσχύ-

„δέσιν ἀτραποῖς, συλλογίζεσθαι πρὸς „ἑαυτόν. Ἤτοι τήνδε τὸ θηρίον ὥρ„μηκεν, ἢ τήνδε, ἢ τήνδε. Ἀλλὰ „μὴν οὔτε τήνδε, οὔτε τήνδε. Τήν„δε λοιπόν. Πλουτ. πότ. τῶν ζώ. Φρονιμ.

(1) Τῶν ἐκτεθέντων (§. ψξγ΄. ψξδ΄). Διαζευκτικῶν, οἱ μὲν τῇ θέσει τὴν ἀναίρεσιν εἰσβάλλοντες τὸ Γ΄. Εἶδος τῶν Ὑποθετικῶν συλλογισμῶν παριστῶσιν, οἱ δὲ τῇ ἀναιρέσει τὴν θέσιν, τὸ Δ΄. τῶν κατὰ τὸν Ἀνώνυμον· ἢ γοῦν οἱ μὲν τὸ Δ΄. οἱ δὲ τὸ Ε΄. τῶν κατὰ Φιλόπονον.

(2) Οὗτος ὁ Γ΄. τῶν Ὑποθ. συλλογισμ. ἐστὶ τρόπος κατὰ τὸν Φιλόπ. ἢ ὁ Ε. κατὰ τὸν Ἀνών. ὃν καὶ μετὰ συμπλοκῆς τῆς ἀποφάσεως τελεῖσθαι φασίν, ἤτοι ἐπὶ τῶν ἀντικειμένων, ἐφ' ὧν τὸ μέσον ἀόριστον· Οἷον οὐχὶ καὶ λευκὸν καὶ μέλαν· λευκὸν δέ· Οὐκ ἄρα μέλαν. Ἢ ὅλως, καὶ ἐπὶ τῶν μὴ ἀντικειμένων, ἑτέρων δέ. Οἷον οὐχὶ καὶ ἵππος, καὶ βοῦς, κτ. Βοῦς δέ· οὐκ ἄρα ἵππος. Ἀεὶ τῇ θέσει δηλονότι συναγομένης τῆς ἀναιρέσεως.